H 36 638

POETISCHE

FLUGBLÄTTER.

GEWIDMET

DER XLII. VERSAMMLUNG

DEUTSCHER PHILOLOGEN UND SCHULMÄNNER

IN WIEN.

mai
Fock
26/6/22

POETISCHE

FLUGBLÄTTER.

GEWIDMET

DER XLII. VERSAMMLUNG

DEUTSCHER PHILOLOGEN UND SCHULMÄNNER

IN WIEN.

Digitized by the Internet Archive
in 2017 with funding from
University of Illinois Urbana-Champaign Alternates

https://archive.org/details/poetischeflugbla00unse

808.1
P753
Classics

ΣΠΟΝΔΑΙ.

ΑΣΤΟΙ. στρ. α'.

Χαίρετε, ὦ ἱερεῖς Ἀθάνας,
ἀμβρότου θυγατρὸς Ζηνός,
τοί γ' ὥραις περιτελλομέναις
ὑλάεσσιν ὄρεσσιν εἰς
ἄστυ στεφανωθέν νῦν
ἤλθετ', ἐν οἷς μινύρεται
ὑπὸ χλωραῖς ἀηδὼν βάσσαις,
φυλλάδ' ἀνήλιον ἃ νέμεται παρὰ
τοῦ ποταμοῦ ῥεέθροις τε πολυσταφύ-
λοις τ' ὄχθαις, ὃς ἑῷον πρὸς θά-
λατταν ἀγήρως θῖνα κυλίνδει
ἠχῶν ἄχρι κυανέων ὀρέων.

ΞΕΝΟΙ. ἀντ. α'.

Χαίρετε, τᾶς ἑκατομπύλου ὦ
ἄνδρες, αἰθέρι ναίοντι
πύργῳ πρὸς δ' ἔτι μαρμαροέσ-
σᾳ φανερᾶς αἴγλᾳ δόμων.
προὔσχες, πόλι μακραίων,
δεινοῦ ἐθνῶν κλύδωνος ὡς
ὄρος πετρῶδες κυμάτων ἐκ
θαρσαλέα τε καὶ εὔσκοπος ἐχθρὸν
προτροπάδην ἀποκρούσασ' ἀντίπα-
λον. ναοὺς Μουσᾶν ἁγνοὺς προς-
ήλθομεν, ὦ φαιδρὸν φάος ἄστεων,
ᾇ θάκῳ σέβας γε Παλλάδος.

Sets 28M25 Fdck
ρ 50050

στρ. β'.

Ἄνθρωπος δεινόν ἐστιν· ὃς
γενναῖον ἐδάμνατό γ', ὠκύποδ' ἵπ-
πον ταῦρον τ' οὔρειον·
ἀθρόα κύματ' ἀτειρὴς
εἴργει τοῦ ποταμοῦ λάβρου
ἀμαιμακέτου πυρὸς ἢ ῥιπὰς
καταπαύει· οὐ ταρβῶν τείνει
ναύκληρος κάλως πάλιν
χειμασθείς περ λαίλαψιν.
ἀνὴρ ἀδαμάντινον πέτραν
περᾷ, δύεται βαθεῖαν γᾶν,
σιδαραῖς μαχαναῖς δεινός.

ἀντ. β'.

Πάντων ζώων ἀνὴρ ἔφυ
μὰν δεινότατον δὴ ὁ παντοπόρος·
πλὴν γὰρ θειᾶν Μοιρᾶν
τᾶν ὁλοᾶν διαφεύγει
ἐμβριθεῖς θαμὰ κινδύνους·
ὅδ' ἔκτηται πτερόεντα φθέγ-
ματα τᾶν ἐννοιᾶν εἰκόνας.
ἅττ' ἂν σέμν' ἐρευνήσῃ,
ταῦτα γράμμασιν ἐκγόνοις
καλὰν παρέδωκε δωρεὰν
τὰ τᾶς σοφίας ἀνεῳγμένας
σιγᾷ θαμβοῦσ' ἀπόῤῥητα.

στρ. γ'.

Εὐδαίμων, ἀρθεὶς ἀρετᾷ
ὃς θεῶν γέρας τὸ σεμνότατον
κτήσατ' ἀγωνιζόμενος
σοφίαν· ὑπάρχειν μεγάλοι
δοκοῖεν ἄλλοι στέγαις
λαμπραῖς ἐγκαλλωπιζόμενοί τ'
ἀγαλλόμενοί τε τρυφῶντες·
ἀλλὰ σοφοῦ ψυχὰ καθορᾷ
αἰωρουμένα ὑψηλαῖς

νεφέλαις ἐλεύθερος αἰετὸς ὡς
ἠδ' ὄμμαι' ἐξικνεῖτ' ἐπὶ πᾶν·
πάντων κρατεῖ γ' ἐπιστήμα.

ἀντ. γ'.

Ἡγήσασθαι τοῖσι νέοις
πάσας γ' ἐπιστήμας ἔπι χρή —
ξύμπασαι πεφύκασι δαι-
μόνιαί τε προὔργου σοφίαν
μάλιστα ποιοῦσι — καὶ
δὴ καὶ πρὸς τὰς παγὰς σοφίας
παλαιγενέων ἰδὲ κάλλεος
ἀκράτους σεμνὸς νόμος ἠδ'
ἱρός· τοίγαρ σ' ὑμνοῦμεν
μακαρίζομέν τε πόλιν χαρίεσ-
σαν θεῶν τ' ἐπίσκοπον πιστιὰν
τᾶς Ἑλλάδος φιλέλληνα.

ἐπ'.

Ἰδοὺ, πρὸς πάντες στείχουσι
νῦν δαίμονες κραιύνοντες·
τύνη, ὦ Ζεῦ πάτερ εὐρύοπα,
προφάνητ', ἰήιε Παιάν,
χρυσηλάκατ' Ἄρτεμι, ὦ Πὰν,
Κυλλάνι' ἄναξ ὀρεσσιβάτα·
τὸν δ' Ἄρε' ὀξὺν ἐνυάλιόν τ' ἐκ-
σεύετ' ἀνέστιον οἶδμα βρέμιον στόνῳ
ἢ πετραῖα χάσματ'·
ἀμύνειε Παλλάδος Θρόνῳ·
ἄμμι, παῖ Διός, ὦ Βακχεῦ,
ὄρεξον νᾶμα Κασταλίας.

A. Stitz.

Salvete amice — linguipotens genus —
viri sagaces, Vindobonae Austriae,
o litterarum purpurati,
vos super aethera fulgurantes!

Post haece septem lustra iterum lubens
hic excipit vos Austricolum genus,
antiquitatem inquiritis qui
iam studiis criticis opertam!

Pars quae perite ex fontibus hauserant,
fideliter pars discipulis ea
tradunt facete! — Macte! semper
prosperius properate curam!

Gustavus Grünes.

In der Kaiserburg.

Des Kaisers Heim erschließt uns heut' die Pforte,
Die alte Burg, das Herz des treuen Wiens.
Ihr Schicksal ist das Schicksal unsres Reichs;
Es nahm von hier zu manchem stolzen Sieg
Der Kaiseradler seinen hohen Flug.
Es rauschten Jubeltage, schwere Zeiten
Wohl über ihre Zinnen wechselnd hin.
Der Babenberger Spross erbaute hier
Zuerst den Herrschersitz, hier brach im Hofe
Der Ritter Speer bei festlichem Turnier,
Hier klangen unsres Walther süße Weisen
Zum Preis des Frühlings und der holden Frau'n.
Doch grausen Ernst auch sah die alte Burg:
Es brach sich Türkengrimm an ihrem Wall,
Dem Kreuze wich des Halbmonds rohe Kraft. —
Und wieder kamen licht're, gold'ne Zeiten.
Die Milde wehte durch den Raum der Burg,
Theresia, die Mutter ihrer Völker,
Und Josef auch, ihr großer, edler Sohn,
Sie schlossen in der Kaiserburg die Augen,
Die nur geleuchtet zu der Menschheit Glück.
Das Standbild Josefs grüßt zum Saal herauf,
Und eines andern Herrschers ehern Bild
Thront in dem Hof der Burg, des Kaisers Franz,

Von dem die Vatergüte mit dem Namen
Auf unsern Kaiser sich vererbt. —
So herrscht Franz Josef in der Burg der Ahnen.
Als Jüngling schon trug er der Krone Zier,
Die so viel Macht umschließt und so viel Thränen.
Doch Glück und Leid, es trug's das Volk mit ihm,
Es trugen's seine Wiener mit dem Kaiser,
Denn heißen Dank hegt ihre treue Brust.
Zu neuem Glanz hob er die Donaustadt.
Die Mauern fielen und die düstern Wälle,
Und wie von Perlen eine reiche Schnur,
Die eine Demantschließe funkelnd hält,
So schlingen sich um Wien des Rings Paläste,
Die Heilandkirche schließt das Perlenband.
Doch nicht bloß neuen Schmuck verlieh der Stadt
Des Kaisers Wort, er ließ auch ihre Glieder
Sich strecken bis zum Grün der fernen Au'n,
Auf dass aus jugendfrischen Reizen sauge
Sie neue Kraft und neuen Lebensmuth.
So sorgend für den Glanz der Kaiserstadt,
Denkt er zuletzt an sich und an die Seinen.
In naher Zukunft soll die alte Burg
Sich auch in schönerm Kleide prangend weisen:
Dem neuen Wien zu neuer Zier und Ehre.

Im Saale, wo wir heute sind geladen,
Umstrahlt von tausendfachem Lichterglanz,
Da wogte oft gar laute Festesfreude,
Des Tanzgewühles auserles'ne Pracht.
Es rauschten knisternd seid'ne Prunkgewänder,
Es blitzte Demantschein, Juwelenglanz.
Doch heut' — wie schlicht die Schar der ernsten Männer,
Die unsres Kaisers Huld zu sich entbot!
Dem strengen Dienst des Wissens und der Schule
Ist ihre Kraft geweiht — und ruhmlos still,

Dem lauten Markte abgekehrt, verfließt
Ihr Leben, das die Muse hold nur schmückt.
Und dennoch heut' im Kaisersaal, und doch
So hoch geehrt durch edle Fürstengunst? —
Das ehrt nicht uns allein, das ehrt
Viel höher noch den Kaiser, der ein Hort
Des Friedens, der des Wissens zarte Blüten
So gern dem Lorbeerkranz des Kriegers eint.
Drum bringen huldigend wir unsern Dank
Ihm dar in seiner Väter alten Burg.
Es throne lang noch in dem Kaiserschlosse
Uralt erlauchten Stamms erlaucht'ster Sprosse!

Leo Smolle.

ΒΙΕΝΝΑΣ ΜΙΚΡΑ.

Κλῦτε, φίλοι γεραροί, ξείνης ἄπο τάσδ᾽ ἐφ᾽ ἑορτὰς
ἰγμένοι, ἡμεδαποί τε συνέστιοι ἀμφοτέρωθεν.
ἠλύθετ᾽ ἀλλήλοισι περὶ στάθμης διδαχάων
παιδονόμων ἀναφανδὸν ἐριζέμεναι μεμαῶτες,
ἄλλοι μὲν σοφίης πινυτόφρονος ἠθολόγου τε
σκώψιος ὠγυγίων τ᾽ ἐθέων ἐπιίστορες, οἳ δὲ
τέχνης ἰχνελάται Σιδωνίδος ἀρχεγόνοιο·
εἰσὶ δὲ καὶ ῥητρῶν δεδαηκότες ἠδὲ θεμίστων,
διφθερίνων σελίδων μελεδήμονες, οἳ δὲ παπύρους
ἐκδιφῶσ᾽ ἰατρολόγους, οἳ δ᾽ ἱρὰ λιθωτά,
Ἀτθίδος εὐγλώσσοιο κεχαρμένοι ἀγλαΐῃσιν·
οἳ δὲ βίης Ἐγχεσπαλίης πολὺ φροντίδ᾽ ἔχοντες,
οἳ δ᾽ ἠλεκτρολύτου λεπτοῖς ἐν ἑλίγμασιν ὁρμῆς
ἢ ἐνὶ κινηθμοῖς διζήμενοι οὐρανίοισιν
ἀενάου φύσιος κανόνας καὶ πείρατα κόσμου.
Ἦρ᾽ ἤδη δεκάκις δέκ᾽ ἔβαν λυκαβαντίδες ὧραι,
ἐξ οὗ Γερμανικοῖς ξεινήια νάμασι δῶρα
μουσοπόλος γλυκύπικρα πορὼν Ἴστροιο ῥέεθρον
καλοῦ ποίησεν κυανόχροον ὧδ᾽ ἀγορεῦον·
Πὰρ Φαίηξιν ἐμοὶ συντέρμοσιν ἁβροδιαίτοις
πείρεται ἀκαμάτοισι κρεῶν βάθος ἀμφ᾽ ὀβελοῖσι.
καὶ τόδε φήμ᾽ ἐπίκαιρον ὃ Λίννιος εἶπεν ἀριστεύς·
Σύλλογος οὐχὶ βέβηκ᾽, ἐπεὶ ὀρχηστὺν προβέβουλε.
τὸ τρίτον αὖ μομφὴν αὐτόχθονος ἀνδρὸς ἀοιδοῦ
εὖ ἴσθ᾽ ὃς Καπύην ψυχῶν προσέειπε Βίενναν,

ἦμος παιδνὸν ἄναξ Μεσονύκτιος ἐσμὸν ἄταλλεν.
οὐκ ἄρα μὰψ δόξης Συβαρίτιδος ἔσχον ὄνειδος
ἡμέτεροι πρόγονοι· τί γὰρ οὔ; Ῥεῖα ζώοντες,
οἷς ἐν ἀτμοῖς ζεφύρων, ἐν ἀηδονίοισι μέλεσσιν,
ἐν χλοεροῖς λειμῶσιν, ἐν ἅλσεσιν εἰνοσιφύλλοις
κεδνὸν ἐπηλυσίης ἄφενος ξυνάπασι τέτυκτο —
οὐ νέμεσις, Θρέψεν δὲ φερέσβιον οὖθαρ ἀρούρης —
τέρποντ' ἠλιθίοισιν ἀθύρμασιν ἠδ' ἀριστυῖ
ἰνδαλμοῖς τ', αἰῶνος ἑκούσιοι οὐκ ἀλέγοντες.

Ἡμεῖς δ' ἀδρότεροι μὲν ἐπιπλομένων ἐνιαυτῶν
τρηχυτέραις γενόμεσθα μεληδόσιν ἐργασιάων·
μὴ δέ τοι ὀμφακίας ὀνοτάζετε μισογέλωτας,
ἀλλὰ φιλάγλαοί ἐσμεν, ἐπεὶ κατὰ θεῖον Ὅμηρον
ἔστι καὶ ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε.
ἦ δὲ πάλαι στενόχωρος ἦεν πόλις εὐρυάγυια,
πολλῶν τεχνιτῶν δαιδάλμασι ποικιλόμορφος,
στέργει τιμαλφεῖ θ' ἱλαροὺς σεμνῶν θιασώτας
Μουσάων· φέρε δή τι ἔπος νημερτὲς ἐνίσπω·
κἀν Νεοφαιήκεσσι λόγων ἔρος οὔποτ' ὀλεῖται.

Druck und Verlag von Adolf Holzhausen in Wien.

UNIVERSITY OF ILLINOIS – URBANA
N3011202365182 8A